# 53. THE REASON FOR THE PARABLES

| Matt 13:10-17 | Mark 4:10-12 |
|---|---|
| *Καὶ προσελθόντες* | *Καὶ ὅτε ἐγένετο κατὰ μόνας,* |
| *οἱ μαθηταὶ* | |
| *εἶπαν αὐτῷ,* | *ἠρώτων αὐτὸν* |
| | *οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα* |
| *Διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς* | *τὰς παραβολάς.* |
| *11 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ὅτι* | *11 καὶ ἔλεγεν αὐτοῖς,* |
| *ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια* | *Ὑμῖν τὸ μυστήριον δέδοται* |
| *τῆς βασιλείας τῶν οὐρανῶν,* | *τῆς βασιλείας τοῦ θεοῦ·* |
| *ἐκείνοις δὲ οὐ δέδοται.* | *ἐκείνοις δὲ τοῖς ἔξω* |
| *12 ὅστις γὰρ ἔχει, δοθήσεται* | |
| *αὐτῷ καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ αὐτοῦ.* | |
| *13 διὰ τοῦτο ἐν παραβολαῖς* | *ἐν παραβολαῖς* |
| *αὐτοῖς λαλῶ,* | *τὰ πάντα γίνεται,* |
| *ὅτι* | *12 ἵνα* |
| *βλέποντες οὐ βλέπουσιν* | *βλέποντες βλέπωσιν* |
| | *καὶ μὴ ἴδωσιν,* |
| *καὶ ἀκούοντες οὐκ ἀκούουσιν* | *καὶ ἀκούοντες ἀκούωσιν* |
| *οὐδὲ συνίουσιν·* | *καὶ μὴ συνιῶσιν,* |
| *13·14 καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἠσαΐου ἡ λέγουσα,* | |
| *15 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν·* | |
| *Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε.* | |
| *μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς* | *μήποτε* |
| *καὶ τοῖς ὠσὶν ἀκούσωσιν* | |
| *καὶ τῇ καρδίᾳ συνῶσιν* | |
| *καὶ ἐπιστρέψωσιν,* | *ἐπιστρέψωσιν* |
| *καὶ ἰάσομαι αὐτούς.* | *καὶ ἀφεθῇ αὐτοῖς.* |
| *16 ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσιν, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσιν. 17 ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε καὶ οὐκ εἶδαν, καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν.* | |

30 words out of 205 words = 15%